www.tezaurliturgic.ro

# ΙΟΥΝΙΟΥ Β΄
# ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΗΦΟΡΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Κωνσταντίνου ὁ μέγας, ὑμνείσθω πρόεδρος, ὁ πρὸς νομὰς ποιμάνας, ἀσφαλῶς σωτηρίου, τὴν ποίμνην τοῦ Κυρίου καὶ καρτερῶς, ὑπὲρ ταύτης δεξάμενος, θλίψεις ποικίλας κακώσεις καὶ διωγμούς, Νικηφόρος ὁ θαυμάσιος.

Ταῖς ἀρεταῖς διαλάμψας, θείᾳ ἀσκήσει σου, ἐν Ἐκκλησίας θρόνῳ, τῷ μεγίστῳ ἀνῆλθες, κἀκεῖθεν δὲ τῷ κόσμῳ ὥσπερ ἀστήρ, παμφαὴς ἀνατέταλκας, ὁμολογίας τῶν ἄθλων ταῖς ἀστραπαῖς, Νικηφόρε ἀξιάγαστε.

Εἰκονομάχων ἐλέγξας, ἔργοις καὶ λόγοις σου, τὴν ψυχοφθόρον πλάνην, Νικηφόρε ἀνδρείως, τῆς ποίμνης ἀπηλάθης τυραννικῷ, βασιλέως προστάγματι, καὶ ἐξεδήμησας γῇ ἐν ἀλλοδαπῇ, πρὸς ψυχῶν τὸν Ἀρχιποίμενα.

Τοὺς προσιόντας ἐν πίστει, τῇ ἀντιλήψει σου, καὶ ὡς καλὸν ποιμένα, εὐφημοῦντάς σε ὕμνοις, διάσωσον εὐχαῖς σου πρὸς τὸν Θεόν, Νικηφόρε θαυμάσιε, ἀπὸ κινδύνων καὶ πάσης ἐπιβουλῆς, τοῦ ἐχθροῦ τοῦ παναλάστορος.

Δόξα Πατρί. Ἦχος α΄.

Ἱεραρχῶν τὴν καλλονήν, ὁμολογίας τὴν στάθμην, Νικηφόρον ὡς τῆς νίκης ἐπώνυμον, ἐν ὑμνῳδίαις τιμήσωμεν· νίκης γὰρ αἰώνιον τρόπαιον, τῇ Ἐκκλησίᾳ ἀπειργάσατο, ὑπὲρ τῆς τῶν Εἰκόνων τιμῆς, διωγμοὺς καὶ θλίψεις ὑπομείνας, καὶ αὐτῶν τρανώσας τὴν προσκύνησιν. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· Πρέσβευε Ἅγιε ἀεὶ τῷ Χριστῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας ἡμῶν τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις ὁ ἱερός, ποιμὴν τῆς Κωνσταντίνου, ὁ δοὺς ὑπὲρ τῆς ποίμνης, προθύμως τὴν ψυχήν σου, ὡς ἔφη ὁ Φιλάνθρωπος.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται...

Φρύαγμα ἀνδρικῶς, αἱρέσεως καθεῖλες, παμμάκαρ Νικηφόρε, ὁμολογίας ἄθλοις, ἐμπρέψας ὑπὲρ ἄνθρωπον.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Χάρισμα ἀληθοῦς, θεολογίας ἔχων, δεινῶν Εἰκονομάχων, σοῖς λόγοις Νικηφόρε, κατασκευὰς διέλυσας.

www.tezaurliturgic.ro



Δόξα Πατρί. Τριαδικόν.

Δόξα σοι ὁ Θεός, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ὁ ἀναδείξας μέγαν, τῆς εὐσεβείας στῦλον, τὸν θεῖον Ἱεράρχην σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα Μαριάμ, ὑπὲρ τῆς σῆς Εἰκόνος, ὁ θεῖος Νικηφόρος, τυραννικῷ ἀντέστη, ἐν καρτερίᾳ δόγματι.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀληθείας ἑδραίωμα, καὶ τῆς πίστεως ἔρεισμα, καὶ δογμάτων πρόβολον σὲ γινώσκομεν, τῆς εὐσεβείας συνήγορον, ἁγνείας τε σκήνωμα, καὶ δοχεῖον ἐκλεκτόν, εὐωδίας τοῦ Πνεύματος, καὶ παμμέγιστον, θησαυρὸν διδαγμάτων καὶ κρηπῖδα, τοῦ Χριστοῦ τῆς Ἐκκλησίας, ὦ Νικηφόρε θεόπνευστε.

Ἀποστόλων διάδοχον, Ἀθλοφόρων ὁμότροπον, Ἀσκητῶν ὁμόζηλον εὐφημοῦμέν σε, καὶ Διδασκάλων ἐκφράγισμα, καὶ θεῖον ἐκτύπωμα, καὶ Χριστοῦ μυσταγωγόν, Νικηφόρε μακάριε, καὶ θεόῤῥυτον, ποταμὸν ἰαμάτων τοὺς ἀνόμους, καὶ βλασφήμους διανοίας, κατακαλύπτοντα πάντοτε.

Τῆς σοφίας τὸ τάλαντον, πλεονάσας πανόλβιε, τῆς χαρᾶς ἠξίωσαι τοῦ Κυρίου σου, πεποικιλμένος τῇ χάριτι, τῆς θείας ἐλλάμψεως, καὶ τῇ αἴγλῃ νοητῶς, ἀποστίλβων τοῦ Πνεύματος, νῦν παρίστασαι, δεξιᾷ ζωηφόρῳ λαμπηδόσιν, οὐρανίοις ἀενάως, καταστραπτόμενος ἔνδοξε.

Ῥητορεύων τὰ ἄῤῥητα, εὐσεβείας μυστήρια, ἐκ πυξίδος πάνσοφε Θείου Πνεύματος, εἰκονομάχων κατῄσχυνας, ἑσμὸν τὸν παράφρονα, καὶ ἐτράνωσας σεπτῶς, τὴν Εἰκόνων προσκύνησιν, ὡς στεῤῥότατος, καρτερίας ἀδάμας ἀφειδήσας διωγμῶν τε καὶ κινδύνων, ὦ Νικηφόρε τρισένδοξε.

Οὐρανίων ἡ ἔφεσις, ἀκηλίδωτον σκεῦός σε, Νικηφόρε χάριτος ἀπειργάσατο· διὸ ἐν σοὶ ὁ Παράκλητος, ἀνάπαυσιν εὕρατο, καὶ ποιμένα σε σεπτόν, Βυζαντίου ἀνέδειξε, καὶ ὑπέρμαχον, κραταιὸν εὐσεβείας καθαιροῦντα, τῶν δεινῶν εἰκονομάχων, τῆς ἀσεβείας ὑψώματα.

Πρὸς λιμένα πανεύδιον, Νικηφόρε ἐπόρθμευσας, πηδαλίῳ κρείττονι τῆς σοφίας σου, καὶ καρτερίας τῶν ἄθλων σου, τὴν ναῦν τὴν σωτήριον, Ἐκκλησίας τοῦ Χριστοῦ, καὶ αὐτὴν ἐκ τοῦ κλύδωνος, τῆς αἱρέσεως, τῶν Εἰκόνων τῶν θείων ἀθετούντων, τὴν προσκύνησιν ἀφρόνως, πάτερ σοφὲ διεφύλαξας.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Ἡ Ἐκκλησία σήμερον στολισαμένη, καὶ περίβλεπτον κόσμον ἐνδυσαμένη, τὴν φωτοφόρον σου μνήμην πανηγυρίζει, Νικηφόρε Ἱεράρχα μακάριε· διὸ καὶ ἡμεῖς ἐν αὐτῇ, εὐσεβῶς συναθροισθέντες, ἐν κατανύξει μελῳδοῦμέν σοι· Χαίροις ἐν οὐρανοῖς τὸ πολίτευμα, ὡς Χριστοῦ θεράπων κτησάμενος, καὶ ταῖς γενικαῖς ἐμπρέψας ἀρεταῖς, Θεῷ ἀνατεθεὶς παιδιόθεν· χαίροις ὁ τῷ μύρῳ τῆς χάριτος, Ἀρχιερεὺς τῆς Ἐκκλησίας γενόμενος, καὶ λειτουργήσας ὡς Ἄγγελος ἐπὶ γῆς, ὁσίως τε καὶ καθαρῶς τῷ Κυρίῳ· χαίροις ὁ τοὺς θεομάχους ὑβριστάς, ὡς θῆρας ἀπελάσας τῆς ποίμνης σου, καὶ αὐτὴν ἐπ' ἀγρύπνῳ φυλακῇ, τηρήσας ἐκείνων ἀλώβητον. Ἀλλὰ πρέσβευε δεόμεθα Χριστῷ, ὡς παῤῥησίαν πολλὴν πλουτήσας, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 111 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, Ἐπισκόπου Νεοκαισαρείας.

www.tezaurliturgic.ro



ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, τῆς Κωνσταντίνου ὁ περίβλεπτος θρόνος, καὶ σύν αὐτῷ πᾶσα ἡ οἰκουμένη, ἐπὶ τῇ μνήμῃ τῇ πανευσήμῳ, Νικηφόρου τοῦ παμμάκαρος. Οὗτος γὰρ ὡς θεόσοφος, δι' εὐαγγελικῆς πολιτείας, τὸν θησαυρὸν τῆς χάριτος, πλοῦτον ἐν τῇ ψυχῇ ἐναποθέμενος, τῆς εὐσεβείας ἐξηρεύξατο τὰ δόγματα, καὶ κατήσχυνε τῶν ἀσεβῶν εἰκονομάχων, εἰς τέλος τὸ θράσος τὸ μετέωρον, ἀφειδήσας κινδύνων καὶ θλίψεων. Ὅθεν τὰ ἔπαθλα τῶν πόνων, παρὰ Θεοῦ πλουσίως δεξάμενος, τοῖς ἐν οὐρανοῖς ἀπογεγραμμένοις συνηριθμήθη, ὑπὲρ ἡμῶν πρεσβείαν ποιούμενος, τῶν εὐλαβῶς μακαριζόντων, αὐτοῦ τὰ κατορθώματα.

Ἦχος β΄.

Ὅσιε Πάτερ, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἀκλινὴς πέτρα ἀνεδείχθης, καὶ στῦλος ἀῤῥαγὴς καὶ ἑδραίωμα· Ἀρχιερεὺς γὰρ τῇ ψήφῳ, τοῦ Παναγίου Πνεύματος γενόμενος, τῆς πίστεως στεῤῥῶς προεκινδύνευσας, καὶ τῷ θηριωνύμῳ ἀντέστης βασιλεῖ, τῷ τὰς ἁγίας Εἰκόνας ὑβρίζοντι. Ὅθεν ὁμολογίας σου τῇ δυνάμει, ἀσεβείας καταβαλὼν τὰ φρυάγματα, νίκην κατ' αὐτῆς ἐπετέλεσας, καὶ νικηφόρως ἀνέπτης πρὸς Θεόν, τὰ ἔπαθλα λαβὼν τῶν ἀγώνων σου. Αὐτὸν οὖν ἐκτενῶς καθικέτευε, ὦ Νικηφόρε ἐν παῤῥησίᾳ πολλῇ, ἐξ αἱρέσεων φυλάττειν τὴν ποίμνην σου, καὶ σῴζειν τὰς ψυχὰς ἡμῶν, ὡς μόνος ἐν ἐλέει ἀνείκαστος.

Ἦχος γ΄.

Ὡς ταξιάρχης θεολέκτου παρατάξεως, ὁμολογίας σου τῇ ὀξείᾳ μαχαίρᾳ, συνασπισμὸν θεομάχων κατέκοψας, Νικηφόρε παμμακάριστε· κορυφουμένης γὰρ εἰκονομάχων τῆς μανίας, κατ' αὐτῶν γενναίως ἐχώρησας, καὶ τὴν τιμὴν τῶν Εἰκόνων διεφύλαξας, ἐν ὀρθοδόξοις κηρύξας διδαχαῖς, ὅτι αὐτῶν διαβαίνει ἡ προσκύνησις, ἐπὶ τὸ κάλλος τοῦ πρωτοτύπου. Ὅθεν σήμερον οἱ πιστοί, καταχρέως Πάτερ τιμῶμέν σε, δοξάζοντες Χριστὸν τὸν Θεόν, τὸν ἐν ὑψίστοις σε δοξάσαντα.

Ἦχος δ΄.

Δεῦτε πάντες οἱ πιστοί, τὸν λογικὸν τῆς ἀληθείας θεμέλιον, Νικηφόρον τὸν τρισένδοξον, ἐξ ἀνθέων τῶν ᾀσμάτων στεφανώσωμεν· Οὗτος γὰρ ὡς ποιμὴν φιλοπρόβατος, ὑπὲρ τῆς ποίμνης ὑπερβαλλόντως ἐκοπίασε, καὶ ἐξ αὐτῆς δαυϊτικῶς, τοὺς νοητοὺς λύκους ἀπήλασε, σφενδόνην τὸν λόγον χρησάμενος, τῶν εὐσεβῶν δογμάτων τῆς πίστεως· Χριστὸν γὰρ ἐμιμήσατο, καὶ αὐτοῦ τῶν παθημάτων κοινωνός, ἀκριβέστατος ὄντως ἀναδέδεικται, τῶν δυσσεβῶν τυράννων ἀνδρείως, τὴν ἄλογον μανίαν καθυπομείνας. Ὅθεν τῆς τοῦ Κυρίου εὐκταίας φωνῆς, αὐτήκοος γεγονώς οὐράνιος, ἐν Παραδείσῳ στεφανηφόρος εἰσελήλυθε, καὶ παρέστη τῷ ἀνεσπέρῳ φωτί, τὸν φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν αἰτούμενος.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Τὸν ἐν Ὁσίοις Ἱεράρχην, καὶ ἐν Πατριάρχαις τῆς ἀληθείας, ὁμολογητὴν εὐσθενέστατον, Νικηφόρον τὸν τῆς νίκης ἐπώνυμον, ὑμνήσωμεν σήμερον ἀναβοῶντες· Χαίροις ὁ τὸν χαρακτῆρα τῆς εὐσεβείας, ἐν Πνεύματι Ἁγίῳ μυηθείς, καὶ αὐτῆς ἐκφήνας τὴν ἀκρίβειαν, ὑψηγορίαις τῶν θεοπνεύστων λόγων σου· χαίροις ὁ τοῦ θηριωνύμου τυράννου, τὴν φρενοβλάβειαν ἀνδρείως διελέγξας, καὶ τὸν σύνδεσμον τῶν ἀσεβῶν διαῤῥήξας, παρατάξει τῆς στεῤῥᾶς ὁμολογίας σου· χαίροις ὁ τοῦ ἐχθροῦ τῆς ἀληθείας, τὰς δεινὰς μηχανουργίας διασαθρώσας, καὶ τῶν ὀρθοδόξων δογμάτων, ὑπέρμαχος φανεὶς ἀκατάβλητος. Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς Χριστόν, ὑπὲρ ἡμῶν ἐκτενῶς καθικέτευε, τῶν εὐλαβῶς προστρεχόντων, τῇ δυνατῇ ἀντιλήψει σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἐν καρδίᾳ σου Θεοῦ, τοῦ παμβασιλέως ὁ πόθος, ἀνῆψε θεῖον ὡς πῦρ, τότε κατεφρόνησας, πάσης αἰνέσεως, καὶ Χριστοῦ ἠκολούθησας, τοῦ σοὶ ποθουμένου, ἀκριβῶς τοῖς ἴχνεσι, θεομακάριστε. Ὅθεν ἀρετῶν εἰς τὸ ὕψος, πάτερ Νικηφόρε ἀνῆλθες, πόνοις ἐγκρατείας καὶ ἀσκήσεως.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

www.tezaurliturgic.ro



Ὅτε ἀπεκάθηρας σαυτόν, πάντων νουνεχῶς τῶν προσύλων, ἀσκητικαῖς ἀρεταῖς, τότε τὴν τοῦ Πνεύματος, ἐδέξω ἔλλαμψιν, καὶ ὡς λύχνος ἐξέλαμψας, ἐν τῆς Ἐκκλησίας, τῇ λυχνίᾳ ὅσιε, βίου λαμπρότητι, καὶ ὁμολογίας ἀκτῖσι, λύων Νικηφόρε τὴν νύκτα, τῶν εἰκονομάχων τῆς αἱρέσεως.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Ὅτε ἀντετάξω ἀνδρικῶς, ὑπὲρ τῶν ἁγίων Εἰκόνων, τῷ δυσσεβεῖ βασιλεῖ, τότε προσωμίλησας, ποικίλαις θλίψεσι, καὶ ἀδίκῳ προστάγματι, μακράν ἀπηλάθης, Νικηφόρε ἔνδοξε, τῆς κληρουχίας σου. Ὅθεν εὐσεβῶς σε τιμῶμεν, ὁμολογητὴν ὡς γενναῖον, καὶ τῇ προαιρέσει θεῖον Μάρτυρα.

Δόξα Πατρί. Ἦχος πλ. α'.

Ὅσιε πάτερ, Νικηφόρε ἀοίδιμε, ὀρθοδόξοις δόγμασι ἐντεθραμμένος, τῷ παρανόμῳ ἀντέστης βασιλεῖ, τῷ τὰς ἁγίας Εἰκόνας ἀσεβῶς, μὴ προσκυνεῖσθαι κελεύοντι· Βασιλείου γὰρ τοῦ τῆς Καισαρείας φωστῆρος, ταῖς θείαις διδασκαλίαις ἑπόμενος, ἐν θεολόγῳ γλώττῃ ἐκήρυξας, ὅτι ἡ τιμὴ τῆς Εἰκόνος, ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Ὅθεν τοῦ θρόνου σου ἐξωσθείς, καὶ ποικίλας θλίψεις καθυπομείνας, ὁμολογητὴς τῆς εὐσεβείας ἀναδέδειξαι, καὶ νίκης φερωνύμως, τῇ Ἐκκλησίᾳ ἤνεγκας τρόπαιον. Διό σε γεραίρομεν, ἐπιτελοῦντες χαρμοσύνως, τὴν ἀξιέπαινον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τοῦ συλλόγου πρωτεύων, Νικηφόρε τῆς πίστεως, λόγων λιθασμῷ ὀρθοδόξων, τοὺς βλασφήμους ἐπάταξας· διὸ ὑπερορίας χαλεπάς, ἀδάμας ὑπομείνας ὡς στεῤῥός, φερωνύμως πρὸς θαλάμους, τῶν ἐκλεκτῶν ἐξεδήμησας· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, πᾶσι τὰ κρείττονα.

Ἕτερον. Ἦχος γ'. Θείας πίστεως.

Νίκης εἴληφας, ἄφθιτον γέρας, νίκης τρόπαιον, τῇ Ἐκκλησίᾳ, ἀναστήσας ἀγῶσι τῶν ἄθλων σου· τὴν γὰρ Εἰκόνων κηρύξας προσκύνησιν, ἐν ἐξορίαις σὸν δρόμον ἐτέλεσας. Ὅθεν πρέσβευε, Χριστῷ Νικηφόρε ἔνδοξε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον τοῦ ἤχου καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
Ἦχος α'. Τὸν τάφον σου.

Συνδράμωμεν πιστοί, πρὸς τὴν μνήμην εὐθύμως, τοῦ ὄντως θαυμαστοῦ, τῆς Χριστοῦ Ἐκκλησίας, ποιμένος καὶ φύλακος, Νικηφόρου κραυγάζοντες· Ἀξιάγαστε, ὡς παῤῥησίαν πλουτήσας, καθικέτευε, ὑπὲρ ἡμῶν σαῖς πρεσβείαις, Χριστὸν τὸν φιλάνθρωπον.

Δόξα Πατρί. Ὅμοιον.

Τῷ θείῳ Φινεές, ἁμιλλώμενος ζήλῳ, ἠνέσχου μηδαμῶς, καθορᾶν ὑψουμένην, τὴν βλάσφημον ἔπαρσιν, τῆς αἱρέσεως Ὅσιε. Ὅθεν δόγμασι, τῆς εὐσεβείας καὶ ἄθλοις, τῶν ἀγώνων σου, ὦ θαυμαστὲ Νικηφόρε, αὐτὴν κατηδάφισας.

Καὶ νῦν. Θεοτοκίον.

Ὡράθης Χερουβίμ, ὑπερέχουσα Κόρη, ἐδείχθης Σεραφίμ, Μαριὰμ ὑπερτέρα, ἀγκάλαις σου βαστάσασα, τὸν Δεσπότην τῆς κτίσεως· ὃν δοξάζουσι, τῶν οὐρανῶν αἱ δυνάμεις· ὅθεν πάντες σε, ὡς ἀληθῆ Θεοτόκον, συμφώνως δοξάζομεν.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Νενίκηκας ἅπασαν, τοῦ παλαμναίου ἐχθροῦ, παμμάκαρ τὴν δύναμιν, τῆς Ἐκκλησίας προστάς, ἐν ὥρᾳ κακώσεως· σὺ γὰρ εἰκονομάχων, καθελὼν τὴν ἀπάτην, ὕψωσας εὐσεβείας, Νικηφόρε τὸ κέρας· διὸ τῆς ἄνω δόξης, ἀξίως τετύχηκας.

Δόξα Πατρί. Ὅμοιον.

Τῆς νίκης ἐπώνυμος, ὑπάρχων νίκης λαμπρόν, ἀνέστησας τρόπαιον, τῇ Ἐκκλησίᾳ Χριστοῦ, γενναίοις ἀγῶσί σου· ἄθλοις ὁμολογίας, ἱερῶς γὰρ ἐμπρέψας, ᾔσχυνας ἀσεβείας, τὴν ὀφρὺν Νικηφόρε· διὸ ἐστεφανώθης, χειρὶ τοῦ Παντάνακτος.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Ῥοαῖς τοῦ ἐλέους σου, ὡς τοῦ ἐλέους πηγή, ἀπόπλυνον δέομαι, τὴν ῥυπωθεῖσαν ψυχήν, Ἁγνὴ τοῦ οἰκέτου σου, ἵνα ἐν κατανύξει, καὶ συνέσει καρδίας, Δέσποινα μεγαλύνω, τὴν φρικτὴν σου λοχείαν, δι' ἧς τῆς καταδίκης, Ἀδὰμ ἠλευθέρωμαι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Κωνσταντίνου πόλεως, ὁ ποιμενάρχης, Νικηφόρος σήμερον, ἀνευφημείσθω ὁ σοφός, ὅτι εἰς τέλος κατήργησεν, εἰκονομάχων, τὸ ἄθεον φρύαγμα.

Δόξα Πατρί. Ἦχος γ'. Τὴν ὡραιότητα.

Ὡς στόμα εὔσημον, Θεοῦ τῆς χάριτος, δογμάτων πέλαγος, ἐξερευξάμενος, εἰκονομάχων ἐν αὐτῷ, ἐβύθισας τὴν ἀπάτην. Ὅθεν ὡς Πατέρων σε, κορυφὴν οὐρανόστεπτον, πάντες μακαρίζομεν, Νικηφόρε ἀοίδιμε, αἰτοῦντες ὅπως εὕρωμεν χάριν, ταῖς πρὸς τὸν Κύριον εὐχαῖς σου.

Καὶ νῦν. Θεοτοκίον.

Θεομακάριστε, ἁγνὴ Μητρόθεε, νύμφη ἀνύμφευτε, καὶ ἀπειρόγαμε, Μαρία Μῆτερ τῆς ζωῆς, Παρθένε εὐλογημένη, πάσης περιστάσεως, πολυτρόπων κινδύνων τε, θλίψεων κακώσεων, νοσημάτων στενώσεων, καὶ μήνιδος ἐχθροῦ τοῦ δολίου, ῥῦσαι τοὺς πίστει σε τιμῶντας.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α' Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Εὐαγγέλιον, ζήτει τῇ ιγ' Νοεμβρίου.

Ὁ Ν'. Δόξα Πατρί. Ταῖς τοῦ Ἱεράρχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Ὅσιε πάτερ, Νικηφόρε σοφέ, τῆς ὀρθοδόξου πίστεως, πρόμαχος ἀκατάβλητος φανείς, τὴν Ἐκκλησίαν ἀπολιόρκητον, τῶν ἀσεβῶν εἰκονομάχων, πολέμου αἱρέσεως ἀσφαλῶς διεφύλαξας. Ὅθεν σήμερον, τῆς εὐσεβείας τὴν εὐπρέπειαν, ὡς κόσμον στολιζομένη, τὸν ἕνα ἐν Τριάδι Θεόν, δοξάζει σε μακαρίζουσα.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τοῦ Ἁγίου. Κανὼν πρῶτος τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς. «Τὸν Νικηφόρον ὡς νικηφόρον ᾄσμασι μέλπω». Ποίημα Θεοφάνους.

Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Τὴν πρᾶξιν, τῆς θεωρίας ἔδειξας, σαφῶς ἐπίβασιν· τὴν γὰρ ψυχὴν ῥυθμίσας πρακτικῶς, Νικηφόρε πανόλβιε, πρὸς θεωρίαν ἄριστον, τὴν ἀκροτάτην ἀνεπτέρωσας.

Ὁ λόγος, ὡραϊσμένος πράξεσιν, ὁ βίος λόγῳ δέ, κεκοσμημένος ὤφθη σου λαμπρῶς, Νικηφόρε θεόληπτε· διὸ ἐπὶ τοῦ θρόνου σε, τοῦ ὑψηλοῦ Χριστὸς ἀνέθετο.

Νοσήσας, τοῦ Μαμωνᾶ τὴν αἵρεσιν, Λέων ὁ δείλαιος, καὶ τῇ στεῤῥᾷ σου πέτρᾳ προσβαλών, Νικηφόρε συντέτριπται, καὶ θαυμαστή τις γέγονεν, ἡ συμφωνία τῆς σοφίας σου.

Νεκρώσας, τὰ ἐπὶ γῆς φρονήματα, σὺ δι' ἀσκήσεως, καὶ τὴν ψυχὴν ἰθύνας ἐμμελῶς, Νικηφόρε θεόπνευστε, πρὸς τοὺς λιμένας ἔφθασας, τῆς ἀκυμάντου καταστάσεως.

Θεοτοκίον.

Ἰάσω, τὴν συντριβὴν πανάμωμε, τῆς ἀνθρωπότητος, τὸν Ποιητὴν τεκοῦσα τοῦ παντός, τὸν ἡμᾶς ἀνορθώσαντα, καταῤῥαγέντας πτώματι, τῶν Προπατόρων Θεονύμφευτε.

Κανὼν δεύτερος τοῦ Ἁγίου, φέρων Ἀκροστιχίδα τήνδε· «Νικηφόρος πέφηνας ὦ Ἱεράρχα. Κυρίλλου».

Ἦχος πλ. δ'. Ἄσωμεν τῷ Κυρίῳ.

Νίκης ἐπωνυμίαν, ὡς καταπλουτήσας παμμακάριστε, νίκην μεγίστην ἦρας, κατὰ τῆς αἱρέσεως, καὶ ὤφθης θεόστεπτος.

Ἴσος τοῖς Ἀθλοφόροις, τῇ ὁμολογίᾳ ὡς γενόμενος, χαίρων αὐτῶν μετέσχες, ἐν πόλῳ ἀοίδιμε, τῆς δόξης καὶ χάριτος.

Κόσμος τῆς Ἐκκλησίας, τῶν ἀρχιποιμένων ἐγκαλλώπισμα, καὶ εὐσεβείας στῦλος, τῇ ὁμολο-

www.tezaurliturgic.ro



γίᾳ σου, ἐπώφθης ἀοίδιμε.

Θεοτοκίον.

Ἥλιον Θεοτόκε, τῆς δικαιοσύνης σωματώσασα, ἔλαμψας τοῖς ἐν κόσμῳ, τῆς ἀπολυτρώσεως, τὸ φῶς τὸ ἀνέσπερον.

Κανὼν πρῶτος. Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Κατακοσμήσας, ἀρετῶν ταῖς ἰδέαις τὸν βίον σου, καὶ φωστὴρ λόγον ζωῆς, σαφῶς ἐπέχων γενόμενος, Χριστοῦ τὴν πανίερον, ποίμνην ἐποίμανας.

Ἡ θεοῤῥήμων, καὶ πυρίνη σου γλῶσσα καὶ ἔνθεος, τῷ πυρὶ τῷ νοητῷ, τὰς ἀκανθώδεις κατέφλεξεν, αἱρέσεις θεόσοφε, Πάτερ ἀοίδιμε.

Φιλοσοφίᾳ, τῆς σοφίας τὸ βάθος ἠρεύνησας, καὶ δογμάτων σου πλοκαῖς, τοὺς ἀθετοῦντας Εἰκόνα Χριστοῦ, τρανῶς ἀπηγχόνησας, ἀξιοθαύμαστε.

Θεοτοκίον.

Ὁμολογοῦντες, τὸν Πατρὶ πρὸ αἰώνων συνάναρχον, ἐπ' ἐσχάτων ἐκ τῆς σῆς, γαστρὸς τεχθέντα Πανάμωμε, κυρίως δοξάζομεν, σὲ Θεομήτορα.

Κανὼν δεύτερος. Σὺ εἶ τὸ στερέωμα.

Φερώνυμον ἔσχηκας, τὴν θαυμαστὴν πολιτείαν σου, τῶν δυσσεβῶν πάτερ Νικηφόρε, καθελὼν τὴν παράταξιν.

Ὁλόφωτον θάλαμον, ὦ Νικηφόρε κατῴκησας, ταῖς ἀστραπαῖς τῆς ὀρθοδοξίας, ἀναλάμψας ὡς ἥλιος.

Ῥοαῖς τῶν δογμάτων σου, εἰκονομάχων κατέπνιξας, ὁλοσχερῶς τὰς ἐρεσχελίας, Νικηφόρε οὐράνιε.

Θεοτοκίον.

Ὁ Λόγος ἐνῴκησεν, ἐν τῇ ἁγίᾳ νηδύϊ σου, καὶ ἐξ αὐτῆς ἐν δυσὶ προῆλθε, παμμακάριστε φύσεσι.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Χοροὶ Πατριαρχῶν, τὴν ἁγίαν σου μνήμην, ἐν ὕμνοις καὶ ᾠδαῖς, Νικηφόρε τιμῶσι· προσθήκην γὰρ ἐδέξαντο, τὴν ψυχήν σου τὴν ἔνδοξον· ὅθεν σήμερον, καὶ ἡ σεπτὴ Ἐκκλησία, μεγαλύνουσα, τὸν Βασιλέα δοξάζει, τὸν μόνον φιλάνθρωπον.

Δόξα Πατρί. Ὅμοιον.

Ἁγίαν καὶ κλητήν, τὴν παροῦσαν ἡμέραν, τῆς μνήμης σου πιστῶς, Νικηφόρε θεόφρον, τελοῦντες ἐν ᾄσμασιν, ἱεροῖς δυσωποῦμέν σε· καθικέτευε, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα, ἵνα λάβωμεν, παραπτωμάτων τὴν λύσιν, καὶ ἔλεος ἄνωθεν.

Καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον ὀφθεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Κανὼν πρῶτος. Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ῥώμῃ τῇ θείᾳ τὰς μύλας Ἱεροφάντα, τῶν ἀσεβῶν συνέθλασας, τῷ στεῤῥῷ σου λόγῳ, τούτους τροπωσάμενος, καὶ σέβειν ἐδίδαξας, θεῖον τοῦ Σωτῆρος ἐκτύπωμα.

Ὁμολογίᾳ τὴν θείαν ἱερωσύνην, περιφανῶς ἐφαίδρυνας, πάτερ Νικηφόρε, Λέοντος ὠμότητι, ὑπερορίζόμενος, μύστα τῶν ἀῤῥήτων θεόληπτε.

Νεανικῶς προϊστάμενος Νικηφόρε, τῶν εὐσεβῶν δογμάτων, τῆς σεπτῆς Ἐκκλησίας, μάστιγι τῶν λόγων σου, τοὺς λύκους ἐδίωξας, πίστιν τὴν ὀρθὴν καπηλεύοντας.

Ὡς παράδεισον τὴν καρδίαν σου κεκτημένος, ξύλον ζωῆς ἐν μέσῳ, ταύτης πεφυτευμένον, πᾶσιν ἐφανέρωσας, τὸν λόγον τῆς πίστεως, πάτερ Νικηφόρε θεόπνευστε.

Θεοτοκίον.

Σεσαρκωμένον τὸν ἄσαρκον πρὶν τεκοῦσα, Λόγον Θεοῦ πανύμνητε, Κεχαριτωμένη, κόσμον ἀνεκαίνισας· διό σε Θεόνυμφε, πίστει ὀρθοδόξῳ γεραίρομεν.

Κανὼν δεύτερος. Εἰσακήκοα Κύριε.

Σαλπισμῷ τῶν ῥημάτων σου, τὰ ἱεριχούντεια κατηδάφισας, ἀσεβείας ὀχυρώματα, πάτερ Νικηφόρε πνευματέμφορε.

Πέτρα ὤφθης στερέμνιος, τῆς Ὀρθοδοξίας ἐν ᾗ προσκρούσασα, ἀπωλείας ἡ παράταξις, Νικηφόρε ἔνδοξε συντέτριπται.

www.tezaurliturgic.ro



Ἐξ ἁγίου σου στόματος, χάριν ἐξηρεύξω ῥεῖθρον ὡς ἄϋλον, Νικηφόρε καὶ κατήρδευσας, Ἐκκλησίας ἅπασαν τὴν ἄρουραν.

Θεοτοκίον.

Φυλακτήριον γένοιτο, τεῖχός τε καὶ στήριγμα ἡ πρεσβεία σου, τοῖς ἐν ὕμνοις μακαρίζουσι, Θεοτόκε ἄχραντε τὸν τόκον σου.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Νοῦν ἔχων καθαρόν, οὐρανοὺς ἐμβατεύοντα, τῆς γνώσεως καὶ σοφίας, τὸ ἀμάραντον ἄνθος, ἐδρέψω παμμακάριστε.

Ἰάματα ψυχαῖς, ὀρθοδόξοις ἐβράβευσας, τοὺς λόγους σου Θεοφάντορ, τὴν δὲ γῆν τῶν ἀφρόνων, κατέστρεψας τοῖς δόγμασι.

Καὶ λόγον πρακτικόν, καὶ ζωὴν ἔχων ἄμεμπτον, ὡς ἥλιος ἐξαστράπτων, τῆς σεπτῆς Ἐκκλησίας, λαμπρύνεις τὸ στερέωμα.

Θεοτοκίον.

Ἡ λύσις τῆς ἀρᾶς, τῆς προμήτορος γέγονας, Πανάμωμε συλλαβοῦσα, τὸν ἡμᾶς εὐλογίαις, ταῖς θείαις στεφανώσαντα.

Κανὼν δεύτερος. Φώτισον ἡμᾶς.

Ἤρθης ἀπὸ γῆς, τῷ τεθρίππῳ τῶν ἀγώνων σου, καὶ κατέπαυσας εἰς πλάτος οὐρανοῦ, Νικηφόρε σὺν Ἁγίοις δοξαζόμενος.

Νόμῳ τοῦ Θεοῦ, σωτηρίου πρὸς αἰώνιον, παμμακάριστε ἐποίμανας νομήν, ὃν Χριστὸς ἐνεπιστεύσατό σοι ποίμνιον.

Ἅπασαν Χριστῷ, ἀναθέμενος τὴν πρόνοιαν, κατεφρόνησας δεσμῶν καὶ φυλακῆς, καὶ πικρᾶς ὑπερορίας ὡς στεῤῥότατος.

Θεοτοκίον.

Σῶσόν με Ἁγνή, τὸν πανάθλιον ἱκέτην σου, ὅτι ἔργοις ἐδαπάνησα αἰσχροῖς, τὴν ζωήν μου ἀσυνέτως παντευλόγητε.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς.

Φωσφόρος, ταῖς ἀκτῖσιν ἐκλάμπων τοῦ Πνεύματος, ταῖς Ἐκκλησίαις θεόφρον, ἀνεδείχθης στῦλος οὐρανομήκης, καὶ νεφέλη, πρὸς κληρουχίαν ἄγων οὐράνιον.

Ὅλην σου, τὴν ζωὴν τῷ Θεῷ καθιέρωσας, διαφερόντως ἐντεῦθεν, καὶ εἰς πᾶσαν ἄρχων τὴν οἰκουμένην, κατεστάθης, ἱεροφάντα Πάτερ μακάριε.

Ῥήγνυσι, τὰς πλοκὰς τῶν ἀθέων αἱρέσεων, σοῦ ὁ θεόπνευστος λόγος, τῷ διστόμῳ ξίφει τοῦ Παρακλήτου, τὸ δὲ φέγγος, τῆς ἀληθείας πᾶσι προδείκνυσιν.

Θεοτοκίον.

Οἱ νόμοι, παραδόξως τῆς φύσεως λύονται, ὅτι Παρθένος νῦν τίκτει, καὶ θηλάζει Κόρη ἀπειρογάμως, συλλαβοῦσα, τὸν τῶν ἁπάντων Κτίστην καὶ Κύριον.

Κανὼν δεύτερος. Χιτῶνά μοι παράσχου.

Ὡς ἄστρον Νικηφόρε φωταυγές, τῇ ὁμολογίᾳ σου, κόσμῳ ἀνέτειλας, κακοδόξων διαλύων τὴν ζόφωσιν.

Ἱέρευσας ἀξίως ἐπὶ γῆς, Θεῷ ὥσπερ Ἄγγελος, τῇ καθαρότητι, Νικηφόρε τῆς σεπτῆς πολιτείας σου.

Ἐπεύχου τῷ Κυρίῳ εὐμενῶς, ἵνα χάριν εὕρωμεν, θείαν καὶ ἔλεος, Νικηφόρε οἱ πιστῶς εὐφημοῦντές σε.

Θεοτοκίον.

Ῥανίσιν οὐρανίοις σῶν εὐχῶν, τὴν ψυχήν μου δρόσισον, Μῆτερ ὡς εὔσπλαγχνος, κινδυνεύουσαν παθῶν ὑπεκαύμασι.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τῆς Κωνσταντίνου ὁ ποιμὴν ὁ φιλοπρόβατος
καὶ Ἐκκλησίας ὁ φωστὴρ ὁ οὐρανόφωτος,
Νικηφόρος νῦν ὁ πάνσοφος εὐφημείσθω·
ἐν ὑψίστοις γὰρ μεγάλως δοξαζόμενος,
ῥεῖθρον ἄϋλον ἐκβλύζει θείας χάριτος,
τοῖς κραυγάζουσι· Χαίροις πάτερ μακάριε.

Ὁ Οἶκος.

Ἄθλοις ὁμολογίας, τῶν ἁγίων Εἰκόνων, τρανώσας τὴν τιμὴν Νικηφόρε, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ἤνεγκας νίκης αἰώνιον τρόπαιον· διό σε μακαρίζομεν, ἀναβοῶντές σοι τοιαῦτα·
Χαῖρε ὁ ἔνθεος μυστιπόλος·
χαῖρε ὁ πάνσοφος θυηπόλος.
Χαῖρε Βυζαντίου ὁ ὅσιος πρόεδρος·
χαῖρε εὐσεβείας ὁ ἔνδοξος πρόβολος.
Χαῖρε νίκην ὁ ἀράμενος κατ᾽ ἀθέων ἀνδρικῶς·
χαῖρε πλάνης τὰ ζιζάνια ἐκριζώσας εὐσεβῶς.

www.tezaurliturgic.ro



Χαῖρε ὅτι ὑπῆλθες ἐξορίας καὶ θλίψεις·
χαῖρε ὅτι καθεῖλες ἀντιθέων ἐπάρσεις.
Χαῖρε δι᾽ οὗ ἡ πλάνη κατήργηται·
χαῖρε δι᾽ οὗ ἡ πίστις τετήρηται.
Χαῖρε Θεοῦ ἀληθὴς ὑπηρέτης·
χαῖρε ἡμῶν ἀψευδὴς παραστάτης.
Χαίροις Πάτερ μακάριε.

## Μηνολόγιον.

Τῇ Β΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Ὁμολογητοῦ.

## Στίχοι.

Τοῦ Πατριάρχου Πατριάρχης πλησίον
Θείου γέροντος Ἀβραάμ, Νικηφόρος.

Δευτερίῃ Νικηφόρος εἰς Ἐδὲμ εὕρατο μοίρην.

## Συναξάριον.

Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ δυσσεβοῦς Κοπρωνύμου, γέννημα καὶ θρέμμα τῆς Βασιλίδος τῶν πόλεων· γονεῖς δὲ αὐτῷ ἐξ εὐπατρίδων καὶ περιωνύμων, Θεόδωρος καὶ Εὐδοκία. Οὗτος ὁ Θεόδωρος γέγονεν ἀπογραφεὺς τῶν βασιλικῶν ἐνταλμάτων καὶ διαβληθεὶς ὡς προσκυνητὴς τῶν θείων Εἰκόνων, μάστιξι καταξαίνεται, καὶ ἐπὶ Μύλλασαν στέλλεται τὸ δεινότατον φρούριον. Καὶ μετὰ ταῦτα ἀνακληθείς, καὶ μὴ εἴξας τοῖς βασιλικοῖς προστάγμασι, πάλιν ὑπὲρ τὴν Νίκαιαν ὑπερορίζεται· κἀκεῖσε διαρκέσας χρόνους ἓξ ἐν κακώσει πολλῇ, τὸν βίον καταλιμπάνει.

Ὁ μὲν τούτου παῖς, ὁ τίμιος Νικηφόρος, τοῖς τῆς Ὀρθοδοξίας σπαργάνοις ἐξ αὐτῆς τῆς λοχείας ἐνειλίσσεται καὶ εὐσεβείας γάλακτι τρέφεται· καὶ τὸ νηπιῶδες παραμειψάμενος καὶ καλῶς παιδευθείς, εἰς τοὺς ὑπογραφεῖς κατατάττεται. Ἔπειτα, σκύβαλα πάντα καὶ ὡς ἀράχνην λογισάμενος, ἀναχωρεῖ τῆς πόλεως καὶ τὴν Προποντίδα τοῦ ἄστεως καταλαμβάνει, κἀκεῖσε μόνος Θεῷ προσανεῖχε, πλείστοις πόνοις καὶ ταλαιπωρίαις προσομιλῶν. Ἐπεὶ δὲ Ταράσιος, ὁ μέγας Ἀρχιερεὺς ἀπεβίω, Νικηφόρος οὗτος, ὑπὸ Νικηφόρου ἄνακτος βιασθεὶς καὶ παρακληθείς, τὸν θρόνον ὑπεισέρχεται Κωνσταντινουπόλεως. Καὶ μετὰ μικρὸν τοῦ αὐτοῦ βασιλέως ἀναπαυσαμένου καὶ Σταυρακίου, τοῦ υἱοῦ αὐτοῦ διαδεξαμένου τὴν βασιλείαν καὶ αὐτοῦ τάχιον ἀποβιώσαντος, Μιχαὴλ ὁ εὐσεβέστατος τῆς βασιλείας τὰ σκῆπτρα διαδέχεται.

Τοῦτον δὲ καθελὼν Λέων ὁ θηριώνυμος τῆς βασιλείας καὶ ταύτης ἐγκρατὴς γενόμενος, κατὰ τῶν ἁγίων Εἰκόνων χωρεῖ καὶ κατὰ τῆς εὐσεβοῦς ἡμῶν πίστεως. Ὅσα δὲ καὶ ὁποῖα ὁ σεβάσμιος πατὴρ ἡμῶν Νικηφόρος πρὸς τὸν ἀσεβῆ καὶ ἀλιτήριον διεξῆλθε παῤῥησιασάμενος, ἀδύνατον λέγειν καὶ γράφειν. Ὁ δὲ θεομισής, παραυτίκα καθελὼν αὐτὸν τοῦ θρόνου καὶ ὑπερορίσας καὶ εἱρκτῇ τοῦτον ἀποῤῥίψας, μηδεμιᾶς παραμυθίας παρ᾽ οἱουδήποτε προστάττει τοῦτον μεταλαβεῖν. Καὶ οὕτω διήρκεσεν ὁ γεννάδας ταλαιπωρούμενος, μέχρις ἂν ὁ δείλαιος οὗτος τὴν ψυχὴν ἀπέῤῥηξεν, ὑπὸ τῶν οἰκείων μαχαίραις μεληδὸν κατακοπείς, ἐν τῷ τοῦ Φάρου νεῷ. Ὁ δὲ μακάριος οὗτος, χρονίαις ταλαιπωρίαις καὶ κακοπαθείαις καταπονηθείς, ἑβδομηκοστόν που χρόνον πληρώσας, εἰς χεῖρας Χριστοῦ τοῦ Θεοῦ τὸ πνεῦμα παρέθετο, ἐννέα ἐν τῇ ἀρχιερωσύνῃ διατελέσας χρόνους, δεκατρεῖς δὲ ἐν ἐξορίᾳ.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

**Κανὼν πρῶτος. Ὠδὴ ζ΄.** Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Ναόν σε ζῶντα, Θεοῦ τοῦ ζῶντος ἐπιστάμεθα, ἔνδον ὡς λυχνίαν ἔχοντα χρυσαυγῆ, τὴν Τριάδα καὶ κραυγάζοντα· Εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Αἱρετιζόντων, τὰς γλωσσαλγίας καταλέλυκας, πείθων τὴν Εἰκόνα σέβειν τὴν τοῦ Χριστοῦ, Νικηφόρε τοὺς κραυγάζοντας· Εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Σοφίας πλοῦτον, καὶ πολιτείαν ἔχων ἔνθεον, πᾶσαν διαβὰς τὴν αἴσθησιν νοερῶς, τῷ Χριστῷ ψάλλων παρίστασαι· Εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

**Θεοτοκίον.**

Μὴ διαιροῦντες, τὰ ἡνωμένα μηδὲ συγχέοντες, ἕνα τὸν Χριστὸν δοξάζομεν τὸν ἐκ σοῦ, σαρκωθέντα Λόγον κράζοντες· Εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις Πανάμωμε.

**Κανὼν δεύτερος.** Ὁ δι᾽ Ἀγγέλου Παῖδας.

Ἀσκητικῶς καθάρας, ἑαυτὸν Νικηφόρε, τῆς Κωνσταντίνου πρόεδρος, ψήφῳ Θεοῦ ἐκρίθης, καὶ ὥσπερ λύχνος ἔλαμψας μυστικῶς, ἐν λυχνίᾳ φαιδρός.

Ῥητορικοῖς σου λόγοις, θεαρέστοις τε ἔργοις, ὁμολογίας σκάμμασι, εἰκονομάχων πᾶσαν, τὴν κακουργίαν ᾔσχυνας ἀνδρικῶς, Νικηφόρε σοφέ.

Χαῖρε ποιμένων κλέος, εὐκοσμία Πατέρων, Ἀρχιερέων καύχημα, τῶν μοναστῶν ἡ ἀκρότης, Πατριαρχῶν τε γέρας πανευπρεπές, Νικηφόρε κλεινέ.

**Θεοτοκίον.**

Ἀπὸ ψυχῆς βοῶ σοι, Παναγία Παρθένε, σῶσόν με σῶσον ἄχραντε· ῥῦσαι δεινῶν κινδύνων, καὶ συμφορῶν με Κόρη χαλεπῶν, ἵνα ὑμνῶ σε ἀεί.

**Κανὼν πρῶτος. Ὠδὴ η΄.** Παῖδας εὐαγεῖς.

Αἵματι Χριστοῦ λελυτρωμένος, τῇ γνώμῃ τὸν δι᾽ αὐτὸν ὑπέστης θάνατον· τῆς γὰρ συνειδήσεως, ἤνεγκας μαρτύριον, ὁμολογίας χάριτι, καταλαμπόμενος, καὶ Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σῶμα καὶ ψυχὴν κεκαθαρμένος, τοῦ λόγου τῷ παντεπόπτῃ Λόγῳ τέθηκας, τοῦτον πρὶν ἀσώ-

www.tezaurliturgic.ro



ματον, ἄναρχον δεικνύοντα, καὶ συμπαθῶς γενόμενον, ἄνθρωπον ὕστερον, καὶ Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἵνα κληρουχίας οὐρανίου, καὶ δόξης ἀδιαδόχου τύχῃς ἔνδοξε, δόξαν τὴν εὐμάραντον, Πάτερ καταλέλοιπας, ὑπερορίας ἅπασαν φέρων πικρότητα, καὶ Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μόνην καθαράν ὁ καθαρός σε, νυμφίος ὁ νοητὸς εὑρὼν Πανάμωμε, κρίνον εὐωδέστατον, ἄνθος ὡραιότατον, καὶ φωτοφόρον θάλαμον, νύμφην προσήκατο· διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν δεύτερος. Τὸν Βασιλέα.

Καταnικήσας, τὸν σοφιστὴν τῆς κακίας, ἐπαιρόμενον κατὰ τῆς εὐσεβείας, νίκηθρον ἐδέξω, ὑψόθεν Νικηφόρε.

Ὕμνοις τιμῶμεν, τὴν παναγίαν σου μνήμην, πρὸς τὸν Κύριον προσάγοντές σε πρέσβυν, πάτερ Νικηφόρε, Πατριαρχῶν λαμπρότης.

Ῥῦσαί με Ἅδου, τῶν αἰωνίων κευθμώνων, ἱκεσίαις σου θερμαῖς πρὸς τὸν Δεσπότην, ὅτι παῤῥησίαν, ὦ Νικηφόρε ἔχεις.

Θεοτοκίον.

Ἱλέωσόν μοι, ὡς ἀγαθὴ Θεομῆτορ, τὸν ἐκ σοῦ ἐνανθρωπήσαντα ἀφράστως, ἵνα σε δοξάζω, τὴν Κεχαριτωμένην.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Εὗρες τὸ μακάριον τέλος, ὑπεξελθόντων τῶν ἐσόπτρων, καὶ τῆς ἀληθείας φανείσης, τῇ θεωρίᾳ τοῦ ἀκηράτου κάλλους, οὗπερ νῦν ἐμφορούμενος, ταῖς σαῖς πρεσβείαις ἡμῶν μέμνησο.

Λάρνακα κυκλοῦντες τὴν θείαν, τοῦ θεοφόρου Νικηφόρου, δεῦτε χριστοφόροι προθύμως, ὡς νικηφόρον τοῦτον ὑμνήσωμεν, καὶ τὴν αὐτοῦ πανήγυριν, μετ᾽ εὐφροσύνης ἑορτάσωμεν.

Πᾶσαν ἀρετὴν ἐξασκήσας, ἐπὶ τῷ τέλει τῶν ἀγώνων, τῆς ὁμολογίας τῷ στέφει, Ἱερομάρτυς ὤφθης κοσμούμενος· ᾧ καθωραϊζόμενος, τῷ σῷ Δεσπότῃ νῦν παρίστασαι.

Θεοτοκίον.

Ὡς ῥίζαν πηγὴν καὶ αἰτίαν, τῆς ἀφθαρσίας σε Παρθένε, πάντες οἱ πιστοὶ πεπεισμένοι, ταῖς εὐφημίαις καταγεραίρομεν· σὺ γὰρ τὴν ἐνυπόστατον, ἀθανασίαν ἡμῖν ἔβλυσας.

Κανὼν δεύτερος. Τὸν προδηλωθέντα.

Λόγοις ἀληθείας, χρησάμενος ὥσπερ ξίφος, τὴν Εἰκονομάχων, πλάνην ἀσεβῆ Νικηφόρε, εἰς ποιμνίου τοῦ σοῦ προστασίαν, ἔτεμες· διό σε μακαρίζομεν.

Λόγος οὐκ ἰσχύει, ὑμνῆσαι σε κατ᾽ ἀξίαν, οὐδ᾽ ᾀσμάτων κάλλος, ὅτι ὑπὲρ λόγον καὶ ὕμνον, σῶν πολλῶν Νικηφόρε ὑπάρχει, ἐπιτηδευμάτων ἡ εὐπρέπεια.

Ὄμβρισον Νικηφόρε, ὑψόθεν τὴν χάριν σου, τῷ ὑφάναντί σοι, τούτους τοὺς ὕμνους ἀδοκίμως, καὶ οἰκεῖον Χριστῷ ποίησόν με, πάτερ ἐνεργείᾳ τῆς πρεσβείας σου.

Θεοτοκίον.

Ὕμνοις σε ἀσιγήτως, Ἀγγέλων τὰ τάγματα, καὶ βροτῶν οἱ δῆμοι, Μῆτερ ἁγνὴ δοξολογοῦσι, τὴν Χριστὸν εἰς ἡμῶν σωτηρίαν, ἄνευθεν ὠδίνων σωματώσασαν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Θηριωνύμου ἄνακτος, Λέοντος τοῦ βλασφήμου, λύσαν τὴν χριστεπίβουλον, ἀπὸ τῆς Ἐκκλησίας, ἐξώρισας Νικηφόρε, καὶ κατῄσχυνας τοῦτον, ὑψηγορίαις χρώμενος, τῶν πατρῴων δογμάτων, καὶ χαλεπάς, θλίψεις ὑπομείνας καὶ ἐξορίας, ἀνθ᾽ ὧν ἐκληρονόμησας, τὴν τρυφὴν τὴν ἀγήρω.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τοῖς ῥεύμασι τῆς εὐλάλου, γλώσσης σου Πάτερ ἱερέ, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, ἄσπιλον πλάνης δυσσεβοῦς, ἀπέδειξας Νικηφόρε, Πατριαρχῶν κοσμιότης.

Θεοτοκίον.

Χαῖρε παράδεισε θεῖε, ἐν ᾧ τὸ ξύλον τῆς ζωῆς· χαῖρε ὁ λίθος Παρθένε, ἐξ οὗ ἡ πέτρα ὁ Χριστός, ἐτμήθη τὴν ἁμαρτίαν, συντρίβων τοῦ πρωτοπλάστου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στι-*

www.tezaurliturgic.ro



χηρὰ Προσόμοια.

Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασιν.

Ποίοις εὐφημιῶν στέμμασι, στεφανώσωμεν τὸν Νικηφόρον; τὸν τοῖς νικηφόροις τῆς πίστεως, ἀνδρικῶς ἀγῶσιν ἐμπρέψαντα, καὶ στεφάνῳ νίκης κοσμηθέντα· τὸν πλάνην, εἰκονομάχων καταργήσαντα, καὶ πίστιν, τῶν Ὀρθοδόξων μεγαλύνοντα· τὸν θαυμαστὸν γερασφόρον, τὸν ἐν παραδείσῳ, ἀγαλλόμενον τῆς τρυφῆς, καὶ κόσμῳ παρέχοντα, ἀενάως δόσεις χάριτος.

Ποίοις ὑμνῳδιῶν ἄνθεσιν, ἀναδήσωμεν τὸν Νικηφόρον; τὸν ἐκ ῥιζουχίας βλαστήσαντα, εὐσεβοῦς ὡς ἄνθος μυρίπνοον, Παρακλήτου θείᾳ γεωργίᾳ· τὸν ἄθλων, ὁμολογίας διαπνεύσεσι, τοὺς δήμους, τῶν εὐσεβούντων καταθέλξαντα· Πατριαρχῶν τὸν φωστῆρα, τὸν τὴν Ἐκκλησίαν, καταυγάσαντα μυστικῶς, καὶ πλάνης αἱρέσεων, τὸ σκότος ἀπομειώσαντα.

Ποίοις εὐφραντικοῖς μέλεσιν, ἐπαινέσωμεν τὸν Νικηφόρον; γνώσεως Κυρίου τὸν ἄνθρακα, τὸν ἐμπυρισμὸν ἐργασάμενον, τῆς εἰκονομάχων ἀσεβείας· τὸν ὅπλοις, τοῖς ἀηττήτοις θείας πίστεως, δειχθέντα τῆς εὐσεβείας ἀρχιστράτηγον· αἱρετιζόντων τὰ στίφη, τῇ τοῦ Παρακλήτου, στρατηγίᾳ τῇ εὐκλεεῖ, στεῤῥῶς τὸν νικήσαντα, καὶ δόξης λαβόντα νίκαθρον.

Ποίοις νικητικοῖς ἔπεσι, μεγαλύνωμεν τὸν Νικηφόρον; τὸν θεολογίας τοὺς βότρυας, ἐν τῇ Ἐκκλησίᾳ ἐκθλίψαντα, ἐν δυνάμει λόγου καὶ σοφίας· τῷ οἴνῳ, τῆς ἀληθείας τὸν μεθύσαντα, ἐνθέως, τῶν Ὀρθοδόξων τὴν ὁμήγυριν· τὸν ἐπὶ γῆς εὐσεβείας, Ἰσραὴλ τοῦ νέου, ὁδηγήσαντα τὸν λαόν, Μωσῆς ὥσπερ δεύτερος, τῇ ῥάβδῳ Θεοῦ τῆς χάριτος.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Ὅσιε Πάτερ, τὴν θεολόγον σου γλῶσσαν, ὡς δίστομον φέρων ῥομφαίαν, ἐν τῇ ὁπλομαχίᾳ τῆς εὐσεβείας, τῶν αἱρετιζόντων εἰκονομάχων, τὰς παρατάξεις ἐξέτρεψας· ὅθεν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, αἰώνιον νίκην ἐνεγκών, φερωνύμως ἀνεπλέξω τῆς ζωῆς, Νικηφόρε τὸν ἀμαράντινον στέφανον, καὶ παρέστης ὡς νικητής, τῷ Βασιλεῖ τῶν αἰώνων, Χριστῷ τῷ Θεῷ ἡμῶν. Αὐτῷ οὖν Ἱεράρχα παμμακάριστε, ὡς εὐμενὴς μὴ παύσῃ πρεσβεύων, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ὑμνούντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ιγ΄ Νοεμβρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις οἰκουμένης ὁ ὀφθαλμός, καὶ τῆς Κωνσταντίνου, Ἱεράρχης ὁ θαυμαστός· χαίροις ὁ αἰσχύνας, εἰκονομάχων πλάνην, καὶ νίκης Νικηφόρε, λαβὼν τὰ ἔπαθλα.

Δίστιχον.

*Ἀξίωσον Κύριλλον ὑμνήσαντά σε*
*Μερίδος τῆς κρείττονος εὐχαῖς σου Πάτερ.*